Ὠδή η΄. Ὁ εἱρμός.

Τὸν Βασιλέα τῶν οὐρανῶν, Ὃν ὑμνοῦσι στρατιαὶ τῶν Ἀγγέλων, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.

Τοὺς βοηθείας τῆς παρὰ Σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε, ὑμνοῦντας, καὶ ὑπερυψοῦντάς Σε, Κόρη, είς αἰῶνας.

Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς.



Τῶν ἰαμάτων τὸ δαψιλές, ἐπιχέεις τοῖς πιστῶς ὑμνοῦσί Σε, Παρθένε, καὶ ὑπερυψοῦσι τὸν ἄφραστόν Σου Τόκον.

Δόξα.

Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας, Παρθένε, ἵνα Σε δοξάζω τὴν Κεχαριτωμένην.

Καὶ νῦν. Θεοτοκίον.

Τῶν πειρασμῶν Σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους, Παρθένε· ὅθεν Σε ὑμνοῦμεν είς πάντας τοὺς αἰῶνας.